Ἐγὼ μὲν οὕτω τὴν πράσιν μαθὼν λέγω·
ἄλλοι δ’ — ἴσως βλέποντες ἡμῶν τι πλέον —
οὐκ «ἀντὶ χρυσοῦ» φασι πεπράσθαι τόδε,
ἁπλῶς δὲ «χρυσοῦ» δεῖν γράφειν τε καὶ λέγειν.
Τῆς ἀκριβείας τῶν διδασκάλων ὅση!
Πῶς οὖν ἐκεῖνον τὸν Θαλῆν τις θαυμάσοι;
Σοφοὶ μὲν οὗτοι, καὶ τὸ δόγμα τῶν πάνυ·
ὑπερφυῶς γάρ ἐστι τῶν ἀποκρύφων.
Τί δ’ ἡ πρόθεσις ζημιοῖ προσκειμένη;
Ἐρήσομαι γὰρ τὸν δικαστὴν τοῦ λόγου:
Ἢ πῶς παροῦσαν μακρὰν ἐξωθεῖς βίᾳ,
ἣν οὐ παροῦσαν αὖθις ἕλκεις εἰς μέσον;
Πῶς γὰρ νοήσεις τὸ «πραθῆναι χρυσίου,» |
f. 15v μὴ προσλαβὼν ἔξωθεν αὐτὴν ἀγράφως;
Δεῖ γάρ με πάντως πρὸς σὲ τῶν σῶν τι φράσαι.
Ἀλλ’ ὡς ἔοικε τῆς σαφηνείας χάριν
ἄχρηστος ἡ δύστηνος ὑμῖν εὑρέθη·
τὸ γὰρ σαφές τε καὶ πρόδηλον ἐν λόγοις
λογογράφοις ἥδιστον, οὐ σχεδογράφοις,
καὶ ταῦτα κλῆσιν «τὸ σχέδην» κεκτημένοις.
Γρίφους δὲ σοὶ πλέκοντι τοὺς ἐν τῷ σχέδει
ἐπαχθές ἐστι πᾶν πρόχειρον καὶ σχέδην.
Ἀλλ’ «εἵνεκέν» τε καὶ «χάριν» καὶ τοιάδε,
ἢ τὴν «ὑπέρ» δεῖν ἀντὶ τῆς «ἀντὶ» φράσεις
εἰς συμπέρασμα τοῦ λόγου προσλαμβάνειν;
Μάλιστα μέν πῶς· ἀντὶ γὰρ τούτου τόδε
ἄμεινον εἰπεῖν μᾶλλον εἶναι «τὴν πράσιν,»
ἢ «τοὺς τοσούτους ἐκπεριτρέχειν κύκλους.»
Ἔπειτα πολλὴ συγγένεια πρὸς τάδε
τῇ προθέσει πρόσεστι μαρτυρουμένη,
ἀνθ’ ὧν πέφυκε λαμβάνεσθαι πολλάκις.
Πῶς οὖν στερηθῇ τῶν ἑαυτῆς ἐνθάδε;
Νικᾷ δι’ ἀμφοῖν. Ὥστε συγχωρητέα.
Εἰ δ’ ἄλλος αὐτὴν ἐξελαύνει τις λόγος,
ἢ δεῖξον ἢ σίγησον ἢ δόξεις μάτην
ἐπηρεάζειν τοὺς ἀνευθύνους λόγους.
Οὐκ εὐλόγως δὲ τοῦ λόγου τὸν προστάτην |
f. 16r λόγοις μάχεσθαι σφόδρα τῶν ἀνευλόγων.

---

**40** cf. Gr. Nyss. *Apol. in Hex.* (*PG* 44, 77C 31-2)

---

**15** χρυσοῦ φασι V : χρυσοῦ φασὶ Lag. **20** γάρ ἐστι V : γὰρ ἐστὶ Lag. **35** εἵνεκέν τε V : εἵνεκεν τὲ Lag. **38** πως Lag. **41** τάδε scripsi : τὰ δὲ V